* * * * * * * * * * * * * * * * * * * * * *

# XENOPHONTIS MEMORABILIVM LIBER III.

## CAPVT I.

### *De arte imperatoria.*

Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν, ἐπιμελεῖς ὧν ὀρέγοιντο ποιῶν, ὠφέλει, νῦν τοῦτο διηγήσομαι. ἀκούσας γάρ ποτε Διονυσόδωρον a) εἰς τὴν πόλιν ἥκειν ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν ξυνόντων, ὃν ᾐσθάνετο βουλόμενον τῆς τιμῆς
2 ταύτης ἐν τῇ πόλει τυγχάνειν, Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς
3 ἀνδριαντοποιεῖν. ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολε-

a) De hoc Dionysodoro plura disce e Platonis Euthydemo. Fuit enim Euthydemi frater. Ex insula Chio, quæ patria erat, primo ad Thurios se contulerant, deinde Athenas, ibique non solum Sophisticen, sed etiam artem militarem profitebantur. De his militaris professione vide Platonem l. c. p. 191. ed. Wechel. Vtraque disputatio, tum ea, quæ est ap. Platonem, tum hæc Xenophontia ad vanitatem & inscitiam hominis demonstrandam pertinet.